# JOHANNES KAMATEROS

# ΕΙΣΑΓΩΓΗ ΑΣΤΡΟΝΟΜΙΑΣ

EIN KOMPENDIUM GRIECHISCHER ASTRONOMIE UND ASTROLOGIE, METEOROLOGIE UND ETHNOGRAPHIE IN POLITISCHEN VERSEN

BEARBEITET VON

DR. L. WEIGL

VERLAG VON B. G. TEUBNER IN LEIPZIG UND BERLIN 1908

# Verzeichnis der Abkürzungen.

## I. Handschriften der *Εἰσαγωγή*.

V = Vindobonensis phil. Graec. 108 (Nessel) (16. Jahrh.?).
M = Venetus Marcianus 334 (14. Jahrh.).
B = Baroccianus 194 (15. Jahrh.).
P = Parisinus 2419 (15. Jahrh.?).
C = Berolinensis Phill. 1574 (16. Jahrh.).

## II. Antike Quellen des Kamateros.

Heph. = Hephaestion von Theben, ed. A. Engelbrecht, Wien, Konegen 1887.
Lyd. = Joannes Lydus, De ostentis, ed. C. Wachsmuth, Leipzig, Teubner 1897.
Rhet. = Exzerpte des Rhetorios aus Teukros, zum Teil bis jetzt noch ungedruckt, im Codex Vindob. phil. Graec. 108 f. 249v ff.
Ptol. { tetr. = Claudii Ptolemaei tetrabiblos, ed. Camerarius, Norimbergae 1535.
Ptol. { im P = Cod. Paris. 2419 f. 8v—9r *περὶ τῶν ὁρίων . . τοῦ Πτολομαίου.*
Max. = Maximus, ed. A. Ludwich, Leipzig, Teubner 1877.
Erat. = Pseudo-Eratosthenis Catasterismi, ed. A. Olivieri, Leipzig, Teubner 1897.
Clod. = der Kalender des Clodius Tuscus in der erwähnten Lydusausgabe, S. 117 ff.

## III. Sonstige Literatur.

Stud. = Studien zu dem unedierten astrologischen Lehrgedicht des Joh. Kamateros, von Dr. L. Weigl, Gymnasialprogramm Münnerstadt 1902; dortselbst sind Zeit, Handschriften, Quellen und Sprache dieses Autors als Vorarbeit zu dieser Erstausgabe ausführlicher behandelt.
Boll = Sphaera von Fr. Boll, Leipzig, Teubner 1903 (S. 5—21 und 24: Teile aus Teukros-Rhetorios, S. 21—30 aus Kamateros).
Preg. = Th. Preger, Scriptores Orig. Constant. I., Leipzig, Teubner 1901.
Cat. = Catalogus Codicum Astrologorum Graecorum, Band I—VI, Brüssel,

# *Εἰσαγωγὴ*

## *κατὰ μέρος ἀστρονομίας διὰ στίχου*

## *Ἰωάννου φιλοσόφου τοῦ Καματηροῦ*

πρὸς βασιλέαν Ἐμμανουὴλ τὸν Κομνηνὸν περὶ τὰ δώδεκα ζῴδια· περὶ πλανήτας, περὶ ἀπλανεῖς ἀστέρας, περὶ δεκανοὺς, περὶ τὰ ὅρια, περὶ μορφώσεις, περὶ τύχης καὶ δυστυχίας, περὶ γενεθλίου, περὶ θεματίου, περὶ χρόνων ζωῆς· περὶ σεισμοῦ, περὶ βροντῆς, περὶ κεραυνοῦ· περὶ τὰ κλίματα, περὶ σχηματισμῶν, περὶ κομήτας, καὶ ἕτερα εἰς πλάτος πολλά.

---

1. Abweichende Lesungen der Handschriften (hier nur V f. 303v—325v): Voraus ein Ornament; Kapitel ρξζ' Ἀρχὴ σὺν θεῷ· εἰσαγωγὴ etc. | *μορφώσ. κομήτ.* || Im Index des V f. 27v findet sich vermerkt: ρξζ' *Ἰωάννου τοῦ Καματηροῦ ἐν τοῖς δώδεκα ζῳδίοις διδασκαλία θαυμασία*; ferner f. 350v: *καὶ εἰς τὰ ρξζ' Ἰωάννου τοῦ Καματηροῦ.*

---

2. Literarische Belegstellen und Quellenangaben: Vgl. Boll 21—30; Titel ediert von Boll 22; vgl. auch Cat. VI,14. || Im Cod. M f. 127r steht auf das andere, von Miller herausgegebene Gedicht des Kamateros be- [illegible] *Πρὸς τὸν ἐν βασιλεῦσιν ἀοίδιμον κύριον* [illegible]

# Einleitung.

(Vers 1—155.)

Πρὸς ὕψος τέχνης ὥρμησα  μέγιστόν τε καὶ βάθος
καὶ πρὸς πέλαγος ἄπειρον,  μικρὸν ἔχων τὸ πλοῖον
μηδ᾽ ὅλως τὸ πηδάλιον  ἰσχύων κυβερνῆσαι,
ἀλλὰ τῇ εὐτυχίᾳ σου  λευκὰ πετάσας, ἄναξ,
συντόμως ἀπεσκάλωσα  τὸν φόβον ἀποῤῥίψας.
ὅσον γὰρ πόλος ἤρτηται  πρὸς ὕψος ἀπὸ γαίης,
τοσοῦτον χθαμαλώτερος  καὶ γνώσεως ἁπάσης
ὑπάρχω κατὰ σύγκρισιν  πάντων τῶν ἐν ἀνθρώποις.
καὶ ταῦτα τὰ συγγράμματα  τὰ μέλλοντα λεχθῆναι
ὡς ἐξ ἐρήμου δέδοξο  καρπὸν μελισταγέα
καὶ ῥόδον ὡς ἐξ ἀκανθῶν  ἢ δῶρον μονομάχου.
καὶ γὰρ ἡ τέχνης ἀπαρχὴ  λαμβάνεται ῥαδίως
καὶ γίνεται καταληπτὴ  πάνυ καὶ κρινομένη
τοῖς χρήζουσι καὶ θέλουσι  ταύτην καλῶς νοῆσαι.
  Καὶ πρῶτον μὲν ἀπ᾽ οὐρανοῦ  ἡ τάξις ἀπαρχέσθω
αὐτοῦ τοῦ περιέχοντος  τοῦ ἄστροις κοσμημένου·
οὐ γὰρ καὶ πόλος ὄνομα,  στρογγυλώδης ὡς σφαῖρα,
ἰσόμηκος, ἰσόπλατος  τυγχάνει κατὰ μέρος,
ἔχοντα καὶ τὴν κίνησιν  τῇ τοῦ κτίστου προστάξει

ἡ μοῖρα δὲ συνίσταται   διὰ λεπτῶν ἑξήντα
τῶν πρώτων κατὰ μέθοδον   ἐν ταῖς ψηφοφορίαις,
ἃ καὶ ταῦτα συνίστανται   ἐξ ἄλλων ἑξηντάδων·
καλοῦνται δὲ τὰ πρώτιστα   λεπτὰ τῶν ἐκ δευτέρων
ἀληθῶς ψηφιζόμενα   τῶν ὄντων ἀπὸ τρίτων,
ὡς ἐν κανόσι γέγραπται   προχείρου Πτολομαίου.
ὅσα γὰρ ἀναβιβαστοῦν   λεπτὰ πρὸς τοῖς ἑξήντα
ἢ καὶ πρὸς τοῖς ἑξήκοντα,   μοίρας κρατοῦσι τάξιν.
ἔστι δὲ μοίρας μέγεθος   Ἡλίου σελασφόρου
περίοδος καὶ κίνησις   ὅλου τοῦ νυχθημέρου.
τὸ δὲ λεπτὸν ἑξηκοστὸν   τὸ πρῶτον μέρος μοίρας.
τὸ δεύτερον δ' ἐλάχιστον   ἑξηκοστοῦ τοῦ πρώτου.
ἔχει δ' ὁ πόλος μεταξὺ   εὐθείας ὁριζούσας
τὸ δωδεκατημόριον   ἐν τέσσαρσι ταῖς μοίραις·
ἡ μὲν ὡς ἀπ' ἀνατολῆς   τέμνει δύσεως ἄχρις·
ἣ κατὰ μῆκος λέγεται   ὁρίζουσα τὴν σφαῖραν,
ἡ δὲ ἀπ' ἄρκτου φέρεται   μέχρι καὶ μεσημβρίας,
αἳ καὶ τὰ κέντρα λέγονται   τῶν ἐπισήμων τόπων.
ὁ δ' ἅπας ὅλος ζῳδιακὸς   κύκλος ὁ ἐν τῷ πόλῳ
δώδεκα τόποι λέγονται   δωδεκατημορίων
ἀνὰ μοιρῶν τριάκοντα   ἔχοντες κατὰ μῆκος,
ὧν ἡ ποσότης φέρεται   τριακοσίων ἑξήντα·
ἐπίθες ταύταις καὶ λεπτά,   πρὸς μίαν ἑκάστην ἕναν,
καὶ ἀποτελοῦσιν ἥματα   πέντε σὺν τῷ τετάρτῳ,
καὶ γίνεται ὁλόκληρος   ἡμέρα τοῦ βισέκτου,
ἥτις καὶ ὀνομάζεται   < ἐσχάτη > Φεβρουαρίου,
προστιθεμένη ταῖς λοιπαῖς   τοῦδε μηνὸς ἡμέραις.
καὶ εἰσάγεται ἡ πενθήμερος   ἐκ τῶν λεπτῶν εὐκόλως
καὶ μὴν ὁ τρισκαιδέκατος   παρ' Αἰγυπτίοις καλεῖται,
ὅστις καὶ πρὸς τὸ πρόχειρον   Κλαυδίου Πτολεμαίου
εὐκατάληπτος γίνεται   συντόμως καὶ ῥᾳδίως.
Καὶ πάλιν ἀναδράμωμεν   ἐξ ἀρχῆς πρὸς τὴν θέσιν
τῶν τόπων τῶν εἰς δώδεκα   μέρη προστετμημένων

τὸ πρῶτον μέρος λέγεται   καιρὸς ἰσημερίας,
τοῦτ᾽ ἔστιν ὡς ἀπὸ Κριοῦ,   Ταύρου καὶ τῶν Διδύμων.
ἔχει δὲ τριαντάμοιρον   τὸ τριμερὲς τῶν ζῳδίων
καὶ γίνεται ἐνενήκοντα   ποσότης πληρεστάτη.
τὸ δ᾽ ἄλλο πάλιν δεύτερον,   τέταρτον μέρος λέγω,
ἐκ Καρκίνου καὶ Λέοντος,   ἀλλὰ καὶ τῆς Παρθένου,
καὶ τόδε συνιστάμενον   ἐκ μοιρῶν ἐνενήντα,
ὅπερ καλεῖται καὶ τροπὴ   τῆς θερειτάτης ὥρας.
τὸ δὲ τρίτον φθινόπωρον,   ἰσόμοιρον τῶν ἄλλων,
τυγχάνον ὡς ἐκ τοῦ Ζυγοῦ,   Σκορπίου καὶ Τοξότου.
τὸ δ᾽ ἔσχατον καὶ τέταρτον,   ὅπερ χειμὼν καλεῖται,
καὶ τοῦτο κατ᾽ ἰσότητα   τῶν ἄλλων συνυπάρχον,
ἐκ ζῳδίων συνιστάμενον   καθύγρων ψυχροτάτων
ἐχόντων ἐκ τριάκοντα   μοιρῶν ἴσων τῶν πρώτων,
ἐξ Αἰγοκέρου, Ὑδροχοῦ   καὶ τῶν νηκτῶν Ἰχθύων,
ἃ τελοῦσιν ἐνιαυτὸν   καὶ μέθοδον Ἡλίου.
τετρὰς γὰρ ἐνενήκοντα   τριακόσια ἑξήντα πέλει,
μῆκος ἀνακυκλούμενον   πανδαμάτορος ὅλον.
καὶ ταῦτα μὲν τὰ δώδεκα   μὴ δόξῃς εἶναι ζῴδια.
τόπων γὰρ ὡς προείπομεν   τὸ γνώρισμα τυγχάνει.
ἔχουσι δὲ τὸ ὄνομα   ἐξ ἀστέρων γνωρίμων
καὶ ἐξ ἄλλων ἔξωθεν αὐτῶν   ζῳδίων ἐστηριγμένων,
ἃ καὶ παρανατέλλοντα   ζῴδια δὲ καλοῦνται.
καὶ πρόσεχε τὴν δύναμιν   ἑνὸς ἑκάστου ζῳδίου·
ἐγὼ δ᾽ ὡς ἀμαθέστατος   τὰ πάντα καταλέξω.
σοφός τις ἐκ τῶν παλαιῶν   ῥήτωρ πεπυκνωμένος,
Ῥητόριος Αἰγύπτιος   οὕτως ὠνομασμένος,
πρὸς ἐπιστήμην ἔμπειρος   τῆς τῶν ἄστρων πορείας,
ἐνέγραψεν ἐπίσημα   < ἐν τῷ > προχείρῳ λόγῳ
πρῶτον περὶ τὴν κίνησιν   τῶν δώδεκα ζῳδίων·
ὁ δὲ κύκλος ζῳδιακὸς   ἐστὶ τὸ περιέχον,
εἰς δώδεκα τεμνόμενος   ἀπ᾽ ἄκρας ἕως ἄκρας,
καὶ πόλοι δύο λέγονται   πρὸς βορρᾶν τε καὶ νότον·

ο δ' ἄλλος πάντα φαίνεται κατερχόμενος μήπω
ἐντὸς ὑδάτων καὶ βυθοῦ ῥείθρων ὠκεανέων,
ὃν καὶ κόσμον οἱ παλαιοὶ κατ' ἐπιστήμην λέγουν.
πᾶσαν γὰρ τὴν διάμετρον πρὸς λογισμὸν εἰ λάβῃς,
ὡς ἔξω κύκλος ἀρκτικὸς . . . .
ἀειφανὴς πρὸς ἄξονα καλούμενος ἐκ μέρους,
. . ἕνα περίστροφον εὑρήσεις μέχρις ἄκρας.
τὰ δὲ πέρατα ἄξονος πόλοι λέγονται κόσμου·
τὸν μὲν γὰρ βορειότερον, τὸν δ' ἐκ νότου καλοῦσιν.
καὶ βόρειος μὲν λέγεται ὁ τοὺς ἀστέρας ἔχων
τῆς Ἄρκτου τῆς Κυνοσ<ούρας>, ἣν ἄμαξαν καλοῦσιν,
ὡς ὁ σοφὸς Ἡσίοδος ἐνέγραψε προθύμως·
'καὶ τὴν μὲν κυνὸς τὴν οὐρὰν, ἣν ἄμαξαν καλοῦσι.'
ἔχει ἀστέρας ἀμαυροὺς ἐν ἑκάστῳ ὠτίῳ,
δύο μικροὺς νεφελώδεις πλησίον ἑστηκότας,
ἐν δὲ τῇ ὠμοπλάτῃ της ἕναν λαμπρὸν καὶ μέγαν,
ἐπὶ τῆς ῥάχης ἕτερον, ἐπὶ τοῦ στήθους ἄλλον,
ἐπὶ τοῦ σκέλους ἔμπροσθεν ἀστέρας ἄλλους δύο,
καὶ ἐπὶ τὴν οὐρίτζαν της, ἣν λέγουσι καὶ κέρκον,
τοὺς ἄλλους τρεῖς, μὴ λάθων σε, καὶ γνώριμος ὑπάρχεις.
εἰ τάχα γὰρ καὶ γέγραπται περὶ τὸν νότου τόπον
ὡς ἀφανῆ τυγχάνοντα βεβυθισμένον ὅλως,
μὴ δόξῃς τοῦτο γίνεσθαι πάντοθεν ἐν τῷ κόσμῳ,
ἀλλὰ πρὸς ἰδιώματα κλιμάτων οἰκουμένης.
τὰ γὰρ ἄνωθεν < ζῴδια > ἔχουσιν ἐξουσίας,
ἀνατολὰς, ἐπιτολὰς, δυνάμεις, βασιλείας,
ὑψώματα καὶ λαμπηνὰς, ταπεινώσεις καὶ οἴκους
καὶ τὸ μεγαλοδύναμον, ὅρια Πτολεμαίου.
ἐκ τούτου δὲ τὴν ἄρρενος φέρουσιν φύσιν ὅλως,
ἄλλα δὲ τὴν τοῦ θήλεος, ἄλλα δὲ καὶ ἀνθρωπώδη·
ἐκ τούτων δὲ τετράποδα, τὰ δὲ καὶ ἄποδα φύσει,
τὰ δὲ λατρευτικά εἰσι, τὰ δ' ἐξ ἡγεμονίας,
τὰ δὲ στερεὰ τυγχάνουσι, τὰ δὲ διφυῆ τῇ φύσει.
τινὰ δ' ἐκ τούτων λέγουσιν ἀμφίβια τυγχάνειν,
τοῦτ' ἔστιν ἀναστρέφεσθαι θάλασσάν τε καὶ γαῖαν·

---

V: 104 *καταρχόμενος* || 108 *ἄξω* | *ἀρτικὸς* | hier ist durch eine sehr mangelhafte Figur, bestehend aus zwei exzentrischen Kreisen, eine Lücke im V f. 304v; der eine Kreis enthält die Worte: *οὗτος ἀεί ποτε φαίνεται*; der andere: *οὗτος ὁ κύκλος οὐδέποτε φαίνεται διὰ τὸ ὑπάρχειν ἐντὸς ὑδάτων καὶ βυθῶν ῥείθρων ὠκεανοῦ, οὗτος ἐστὶν ὁ μηδέποτε φαινόμενος*; unten drau steht: *τὴν ἀράτιον* (?) *σφαῖραν ἐνθάδε βλέπ<εις>* || 109 *ἀειφανὲς* | *ἐκ*] *εἰς* || 111 *πέρατιν* | *τοῦ κόσμου* || 114 *τῆς Κυνοσσούρας* (Boll 72 und 93, Erat. 2,17)] *τῆς κυνὸς* V am Anfang von f. 305r || 123 *λάθωνος* (?) || 133 *ἀνῶδει* || 134 *δεκεποδαφυσ*.

---

116 vgl. Odyss. 5,273; Ilias 18,487; Arat ed. Buttmann Vers 36 || 117—123 vgl. Erat. 2,3—8 || (120 *ῥάχεως* Erat.) || 131 vgl. Stud. 25

ὧν μὲν εἰσι πολύσπερμα, τὰ δὲ ἄγονα πάλιν,
πέφυκαν ὀλιγόγονα, ἄλλα δ' αἰνιγματώδη,
τὰ μὲν εἰσι κυρτοειδῆ, τὰ δὲ στεῖρα ἐκ τούτων,
τὰ δὲ καὶ τριγωνίζουσι, τὰ δ' ἄλλα ἑξαγωνίζουν,
ἄλλα δὲ πρὸς τετράγωνον φέρουσί τε τὸ σχῆμα,
τὰ δὲ κατὰ διάμετρον, τοῦτ' ἔστιν ἐναντίον.
καὶ χάριν ἐπισχήματος λέξομέν σοι προθύμως·
καὶ γὰρ ὁ δωδεκάπυργος κύκλος ὁ τῶν ζῳδίων
πρῶτον μὲν ἔχει τὸν Κριόν, ἕβδομον δὲ τὸν τόπον,
ὃς καὶ Ζυγὸς πρὸς τὰ λοιπὰ προάγεται Σκορπίῳ·
ὡς εἴρηται γὰρ ἄνωθεν, ἔχει ἀνὰ τριάντα
μοίρας ἕκαστον ζῴδιον τῶν δώδεκα τμημάτων.
τὸ δὲ τριχῶς μερίζεται ἐκ μοιρῶν ἀνὰ δέκα,
καὶ λέγεται τὸ τριμερὲς δεκανὸς τοῦ ζῳδίου,
ἐν δέκα συνιστάμενον μοιρῶν περιφερείας,
καὶ καθεξῆς καὶ τὰ λοιπὰ ὑπόλαβε ζῳδίων.
πρὸς τούτοις δὲ προσθήσομεν καὶ τὰς λοιπὰς δυνάμεις.

---

V: 139 *τὰ δὲ ἄγονα*] *ἃ δὴ ταγ̣ε̣να* || 141 *τούτου* || 145 *ἐπὶ σχήματα* || 150 *ζῴδ.*

---

146 *δωδεκάπυργος* vgl. Cat. IV, 62 *περὶ τῶν ιβ' πύργων ἤτοι οἴκων*; vgl. A. Bouché-Leclerq, L'astrologie grecque (Paris 1899) p. 185, Anm. 1 Les Chaldéens appelaient les maisons bêtu = *οἶκος*.., les Arabes al-burûg du grec *πύργος* (Hommel)